Βιβ. δ'
Petit 245/3
ΑΧΔ 888

# ΙΕΡΑ ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΚΑΙ ΙΣΑΠΟΣΤΟΛΟΥ

# ΦΩΤΙΟΥ

ΠΑΤΡΙΑΡΧΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΤΟΥ ΟΜΟΛΟΓΗΤΟΥ

ΣΥΝΕΡΑΝΙΣΘΕΙΣΑ ΕΞ ΑΡΧΑΙΟΤΕΡΩΝ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΥΜΝΩΝ
ΚΑΙ ΣΥΝΤΑΧΘΕΙΣΑ ΥΠΟ ΤΟΥ ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΣΤΑΥΡΟΥΠΟΛΕΩΣ

ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΤΟΥ ΤΥΠΑΛΔΟΥ

ΕΞΕΔΟΘΗ ΜΕΝ ΤΟ ΠΡΩΤΟΝ ΚΑΤΑ ΤΟ 1848
δαπάναις τοῦ ἀοιδίμου Οἰκουμενικοῦ Πατριάρχου
ΚΥΡΟΥ ΑΝΘΙΜΟΥ ΤΟΥ ΑΠΟ ΕΦΕΣΟΥ

ΗΔΗ ΔΕ ΤΟ ΔΕΥΤΕΡΟΝ
δαπάναις τοῦ νῦν εὐκλεῶς πατριαρχεύοντος

ΟΙΚΟΥΜΕΝΙΚΟΥ ΠΑΤΡΙΑΡΧΟΥ

ΚΥΡΙΟΥ ΚΥΡΙΟΥ ΔΙΟΝΥΣΙΟΥ Ε΄ ΤΟΥ ΑΠΟ ΑΔΡΙΑΝΟΥΠΟΛΕΩΣ

*καὶ διανέμεται δωρεὰν ταῖς ἁγίαις τοῦ Χριστοῦ Ἐκκλησίαις*

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΑΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ
1891

ΕΚ ΤΟΥ ΠΑΤΡΙΑΡΧΙΚΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ




# ΠΡΟΛΟΓΟΣ ΤΗΣ Α΄ ΕΚΔΟΣΕΩΣ

## ΤΟΙΣ ΑΠΑΝΤΑΧΟΥ ΕΥΣΕΒΕΣΙΝ ΕΝ ΚΥΡΙΩ, ΧΑΙΡΕΙΝ

ΤΗΣ ἱερᾶς καὶ πανσεβάστου μνήμης τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν καὶ Ἰσαποστόλου Φωτίου Πατριάρχου Κωνσταντινουπόλεως τοῦ Ὁμολογητοῦ, τῆς ἀείποτε μὲν εὐλαβῶς τιμωμένης ἐν τῇ ἁγίᾳ τοῦ Χριστοῦ Ἐκκλησίᾳ(α), τὸ πάλαι δὲ καὶ πανεόρτως τελουμένης ἐν τῷ σεπτῷ Προφητείῳ, ἤτοι Ναῷ τοῦ τιμίου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου τῷ ἐν τῇ ἱερᾷ Μονῇ τῇ ἐπιλεγομένῃ τῆς Ἐρημίας ἢ Ἠρεμίας (β), συστάσης ἤδη καὶ αὖθις καθ' ἡμᾶς ἐν εὐσήμοις ἡμέραις ἑορτῶν, ἐδέησεν, εὐλαβείᾳ τῇ πρὸς τὸν Ἅγιον, συνταχθῆναι τὴν ἀνὰ χεῖρας ἱερὰν Ἀκολουθίαν, τῆς ἀρχαίας τυχὸν ἐν γωνίᾳ που καὶ ἐν παραβύστῳ εἰσέτι ἐναποκειμένης. Καὶ συνέστη μὲν ἡ τοῦ θεσπεσίου Ἱεράρχου ἑορτὴ ἐν τῇ κατὰ τὴν νῆσον Χάλκην εὐαγεστάτῃ καὶ σταυροπηγιακῇ Μονῇ τῆς Ἁγίας Τριάδος (γ), τῇ παρ' αὐτοῦ τοῦ τρισμάκαρος τὸ πρῶτον κτιθείσῃ, ὡς ἡ ἐκ πατέρων εἰς ἡμᾶς ἀφικομένη παράδοσις ἐξιστόρησε, καὶ τῇ τῆς νέας Σιὼν ἐπωνυμίᾳ, παρ' αὐτοῦ σεμνολογηθείσῃ (δ)· ἐτάχθη δὲ ἵνα δὶς ἐν αὐτῇ τοῦ ἔτους ἐπιτελῆται, τῇ ς΄ δη-

(α) Βλ. Τὸ ἐν τῷ Τριῳδίῳ Συνοδικὸν τῇ Κυριακῇ τῆς Ὀρθοδοξίας.

(β) Βλ. Συναξαριστὴν τοῦ ἀοιδίμου Νικοδήμου τῇ ς΄ Φεβρουαρίου.

(γ) Ἡ περίβλεπτος αὕτη καὶ σεπτὴ Μονὴ ὑπὸ τῆς παλαιότητος σαθρωθεῖσα, καὶ ἐν μέρει ὑπὸ πυρκαϊᾶς τεφρωθεῖσα ἐρείπιόν τε καταστᾶσα, καὶ ἔρημος μονονού, προνοίᾳ τῆς ἁγίας τοῦ Χριστοῦ Ἐκκλησίας πρὸ πέντε ἤδη ἐτῶν, Πατριαρχεύοντος τοῦ Κυρίου Γερμανοῦ, ἀνῳκοδόμηται φιλοτίμῳ καταβολῇ καὶ συνεισφορᾷ τῆς τε αὐτοῦ Παναγιότητος καὶ τῶν ἁγίων Ἀρχιερέων, τῶν ὑπὲρ παντὸς μὲν τοῦ τὴν κοινὴν τοῦ Χριστωνύμου πληρώματος ὠφέλειαν ἀφορώντος, καὶ πρὸς δόξαν τῆς Ὀρθοδόξου ἡμῶν πίστεως συντελοῦντος ἀκάματον ζῆλον καταβαλλόντων, ἰδιαιτέρᾳ δὲ γενναιότητι καὶ προθυμίᾳ ψυχῆς πρὸς τὴν ἐκ βάθρων πολυδάπανον ἀνέγερσιν καὶ λαμπροτάτην ἀνοικοδομὴν τῆς Μονῆς ταύτης φιλοτιμησαμένων, μετὰ τῆς συνδρομῆς καί τινων ἄλλων φιλοχρίστων εὐσεβῶν· κατὰ δὲ τὸν ἀπαρχῆς σκοπὸν καὶ τὴν διακαῆ ἔφεσιν τῆς τοῦ Χριστοῦ Ἐκκλησίας συνέστη ἐν αὐτῇ θεολογικὴ σχολὴ πρὸς ἐκπαίδευσιν μόνων τῶν ἐν τῷ ἱερῷ κλήρῳ ἀριθμουμένων ἢ καταλεχθησομένων, ἥτις καὶ διὰ τῆς συντόνου καὶ ἀγρύπνου προστασίας τοῦ ἤδη εὐκλεῶς πατριαρχεύοντος Παναγιωτάτου ἡμῶν Δεσπότου Κυρίου Κυρίου Ἀνθίμου, καὶ τῆς ἁγίας καὶ ἱερᾶς Συνόδου, ἀκμάζουσα ἤδη καὶ ἐν ἀρίστῃ ἁρμονίᾳ καὶ τάξει κυβερνωμένη δι' ἐγκαταστάσεως εὐσεβῶν καὶ σοφῶν Διδασκάλων, μαθητάς τε προαγαγοῦσα τετελεσμένους ἐν τῇ ἱερᾷ Θεολογίᾳ καὶ τοῖς λοιποῖς ἐγκυκλίοις μαθήμασι, καὶ ἐς τοὐπιὸν χρηστοτέρας ἐπαγγελομένη τὰς ἐλπίδας τῆς κοινῆς ψυχικῆς ὠφελείας τοῦ Χριστωνύμου λαοῦ, διαπρέπει κοινὸν σεμνολόγημα τοῦ εὐσεβοῦς ἡμῶν Γένους.

(δ) Τὴν παράδοσιν ταύτην διέσωσε καὶ γραφῇ καθ' ἡμᾶς παρέδωκεν ὁ γηραιὸς καὶ σεβάσμιος Π. Κωνσταντινουπόλεως Πατριάρχης Κύριος Κωνστάντιος ὁ Α΄ ὁ πολὺς τήν τε θύραθεν καὶ τὴν ἔσω

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

λονότι τοῦ Φεβρουαρίου, ἡμέρᾳ τῆς μακαρίας αὐτοῦ κοιμήσεως (α), καὶ τῇ τρίτῃ ἡμέρᾳ τῆς Πεντηκοστῆς, ἤτοι τῇ ἐφεξῆς μετὰ τὴν τοῦ Παναγίου Πνεύματος ἑορτὴν, καὶ τῆς Μονῆς τὴν πανήγυριν, καὶ τοῦτο, καθό τε Κτίστορος ταύτης Ἁγίου, ὡς εἴθισται καὶ ἐν πολλοῖς τῶν τοῦ ἁγιωνύμου ὄρους Ἄθωνος εὐαγῶν καὶ περιωνύμων Μοναστηρίων, τῶν ἀμέσως μετὰ τὴν ἰδίαν ἑορτὴν ἐπιτελούντων καὶ τὴν τῶν ἁγίων Κτιτόρων αὐτῶν ἱερωτάτην μνήμην, καὶ προσέτι, ὅρα δέ μοι κἂν τούτῳ πρόνοιαν Θεοῦ καὶ βουλὴν, ὡς ἰδίως ὑπὲρ τοῦ Παναγίου Πνεύματος ἀγωνισαμένου κατὰ τῶν ἀρνουμένων τὴν ἐκ μόνου τοῦ Πατρὸς αἰώνιον αὐτοῦ ὑποστατικὴν ἐκπόρευσιν, τολμηρῶς δ' ἅμα καὶ ἀμαθῶς προστιθεμένων τῷ τῆς Πίστεως ἱερῷ Συμβόλῳ τὴν καὶ ἐκ τοῦ Υἱοῦ αἱρετικὴν ἐκείνην καὶ ὅλως βλάσφημον καὶ ἀντευαγγελικὴν προσθήκην, καὶ παραχαραττόντων οὕτω τὸ ἅγιον καὶ σεπτὸν Σύμβολον τῆς ἀμωμήτου Πίστεως τῆς καθολικῆς Ἐκκλησίας, Μανιχαϊσμὸν δ' ἄντικρυς ἐντεῦθεν εἰσαγόντων εἰς τὴν τῶν Χριστιανῶν ὀρθόδοξον ὁμολογίαν, ἢ Σαβελλιανισμὸν, ἢ Ἀρειανισμὸν, ἢ καὶ εἴτι χείριστον καὶ βλασφημότατον ἐν θεολογίᾳ· ἐξ οὗ καὶ μάλα δικαίως κορωνίδα τῶν κακῶν ἐν τοῖς ἄλλοις αὐτῶν καινοτομήμασι τὴν πνευματομάχον ταύτην προσθήκην αὐτὸς ὁ ἱερώτατος Φώτιος ἀπεκάλεσε, Φώτιος ὁ μέγας ὄντως καὶ γενναῖος ὑπέρμαχος τοῦ Εὐαγγελίου, Φώτιος ὁ Ἰσαπόστολος καὶ μέγιστος ἐν Πατράσι καὶ Ἱεράρχαις, ὁ τῆς εὐσεβοῦς πίστεως ἀτρόμητος ὁμολογητὴς, καὶ τῆς ὀρθοδοξούσης Οἰκουμένης ἀείζωος Πατριάρχης. Καὶ ἄλαλα τοίνυν γενηθήτω τὰ χείλη τὰ δόλια τὰ λαλοῦντα κατὰ τοῦ Δικαίου ἀνομίαν, χείλη Μανιχαίων καὶ Σαβελλιανῶν, χείλη Ἀρειανῶν καὶ Πνευματομάχων, χείλη Ἁγιομάχων καὶ δυσσεβῶν, χείλη δόλια ἀδικίαν εἰς τὸ ὕψος λαλοῦντα, καὶ ἀνομίαν ἐν ὑπερηφανείᾳ καὶ ἐξουδενώσει, οἵαν ἀείποτε τὸ τοῦ σχίσματος καὶ τῆς αἱρέσεως παμμίαρον στόμα κατεβλασφήμησε καὶ κατ' ἄλλων μακαρίων καὶ θεοφόρων Πατέρων τῆς Ἐκκλησίας. Τιμάσθω δὲ τοὐναντίον καὶ διὰ θαύματος ἀγέσθω ὁ ἐν Ἁγίοις πανθαύμαστος Φώτιος, ὅστις, ὁρῶν τὸν Ἀσσύριον ἐκεῖνον δράκοντα σύροντα τὸ τρίτον μέρος τῶν τοῦ νοητοῦ στερεώματος ἀστέρων, ἔστη εἰς τὸ μέσον ὡς ἄλλος Μιχαὴλ, καὶ πρῶτος, πρῶτος αὐτὸς, πρῶτος πάντων ἐφώναξε τὸ, στῶμεν καλῶς, στῶμεν οἱ πιστοὶ ἐν τῷ Εὐαγγελίῳ, ἐν τῷ κηρύγματι τῶν Ἀποστόλων καὶ Προφητῶν, ἐν τῇ τῆς Μιᾶς, Ἁγίας, Καθολικῆς καὶ Ἀποστολικῆς Ἐκκλησίας διδασκαλίᾳ, ἐν τοῖς τῶν ἁγίων καὶ ἱερῶν Συνόδων πνευματοφθέγκτοις ὅροις καὶ θεσμοῖς καὶ Κανόσιν, ἐν ταῖς σεπταῖς τῶν Πατέρων παραδόσεσι καὶ διδασκαλίαις, συντόμως, ἐν τῇ ὀρ-

---

σοφίαν καὶ ἀκριβέστατος τῶν πατρίων ἀνιχνευτής. (βλ. Κωνσταντινιάδα σελ. 166 ἔκδ. Βενετ. 1824). Ταύτην δὲ ἀσπαζόμενος τὴν παράδοσιν καὶ ὁ σοφώτατος διδάσκαλος κύριος Κωνσταντῖνος Οἰκονόμος ὁ ἐξ Οἰκονόμων, ὁ περικλεὴς ἐν λόγοις καὶ ἀγαθῶν πατέρων ἐφάμιλλος, ἐξύφανε τοὺς γλαφυροὺς τούτους στίχους.

*«Χαῖρέ μοι ἀνθεμόεσσα Προποντίδος ἄφθιτε κούρη,*
*Χαλκῆτις νῆσος, πᾶσιν ἀειδομένη·*
*Ἣ καλὴν στεφάνην ἀμφικρήδεμνον ἐστεφάνωσαι*
*Τήν δε Μονὴν ἱερὰν τῆς μεγάλης Τριάδος,*
*Φώτιος ἣν πρῶτος Πατριάρχης κεῖνος ὁ θεῖος*
*Δείματο, καὶ ἕ Νέην ἐξονόμηνε Σιών».*

(α) Βλ. Συναξαριστὴν ἔνθα ἄνωτ.



θοδόξῳ πίστει καὶ Ἐκκλησίᾳ· καὶ νέος διὰ τοῦτο Μωϋσῆς, νέος Ἠλιοὺ Θεσβίτης ἐπιγραφέσθω παρ' ἑκάστης φυλῆς καὶ γλώσσης, τῆς τὴν Ὀρθόδοξον τοῦ Θεανθρώπου Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ πίστιν καὶ ἠθικὴν καὶ θρησκείαν ὁμολογούσης (α). Τιμάσθω πάντως ὁ λαμπρὸς ἀριστεὺς καὶ ἁγιοπρεπέσιν ὕμνοις ὁ θεῖος Πατὴρ καὶ Διδάσκαλος γεραιρέσθω, ὡς τῶν Γερμανῶν καὶ Ἰγνατίων γνήσιός τε διάδοχος καὶ τὴν ἁγιότητα ἰσοστάσιος· ἐνθέσμως γὰρ καὶ κανονικῶς ὡς ἄξιος καὶ ἀνέγκλητος εἰς τὸν τῆς ἀρχιερωσύνης ἀνενεχθεὶς βαθμὸν, καὶ ἀναβὰς εἰς τὸν Ἀποστολικὸν καὶ Οἰκουμενικὸν Πατριαρχικὸν τῆς μεγαλωνύμου Κωνστατινουπόλεως θρόνον, καθὼς εἰς αὐτὸν τοῦτον πρὸ αὐτοῦ ἀνέβησαν Νεκτάριος, καὶ Ταράσιος, καὶ Νικηφόρος οἱ ἁγιώτατοι, καὶ εἰς τὸν ἀρχιερατικὸν τῶν Μεδιολάνων Ἀμβρόσιος ὁ ἱερώτατος, οἱ μὲν ἀπὸ λαϊκῶν, οἱ δὲ καὶ ἀπὸ κατηχουμένων, οὕτω τηνικαῦτα δεῆσαν, ἱερούργησε τὸ Εὐαγγέλιον, ὡς ἄλλος Παῦλος, δόκιμος ἐν πᾶσιν ἀναδειχθεὶς καὶ Ἰσαπόστολος, θλίψεσι δὲ καὶ διωγμοῖς καὶ ποικίλαις στενοχωρίαις ὑπὲρ τῆς τοῦ Χριστοῦ Ἐκκλησίας προσομιλήσας ἐτελείωσεν ὑπερόριος ὁ ἀείμνηστος ὄντως καὶ εὐσεβέστατος τὸ στάδιον τῆς ἀμέμπτου καὶ ἁγίας αὐτοῦ ζωῆς, ὡς ἄλλος Χρυσόστομος, στεῤῥὸς ἀναφανεὶς καὶ ἀκράδαντος ἐνώπιον πάσης δυναστείας καὶ μέγας τῆς ὀρθοδόξου Πίστεως ὁμολογητής. Τί τῶν πρὸ αὐτοῦ Πατέρων ὑποδεέστερος; Ἐφάμιλλος αὐτῶν, καὶ τοὺς μὲν τοῖς τρόποις μιμούμενος, τοῖς δὲ εὐθείαις ταῖς τρίβοις ἑπόμενος, ἐλάλει ἐναντίον ἀνόμων ὁ μέγας καὶ τὴν ἀρετὴν καὶ τὴν σοφίαν, καὶ οὐκ ᾐσχύνετο, τούτῳ μὲν, οὐκ ἔξεστί σοι, λέγων, βεβηλοῦν τὰ ἅγια χερσὶ μιαιφόνοις, ἐκείνῳ δὲ, οὐκ ἔξεστί σοι παραχαράττειν, τὸ ἅγιον τῆς ἀχράντου Πίστεως Σύμβολον, καὶ ἀνατρέπειν ὅρια, ἃ συνοδικῶς ἔθεντο οἱ Πατέρες ἡμῶν, καὶ μοναρχεῖν καὶ τυραννεῖν ἐν τῇ Ἐκκλησίᾳ, ἧς Κεφαλὴ, καὶ θεμέλιον καὶ λίθος ἀκρογωνιαῖος, καὶ πέτρα ἀσάλευτος, καὶ Ἀρχιποιμὴν, καὶ ἄκρος καὶ μέγας καὶ ὕψιστος καὶ ἀθάνατος καὶ αἰώνιος Ἀρχιερεὺς, ὁ Χριστὸς, Ἰησοῦς ὁ Χριστὸς, ὁ Θεάνθρωπος Κύριος, ὁ Λυτρωτὴς καὶ Σωτὴρ ἡμῶν. Ὦ Πάτερ, Πάτερ, ἅρμα τοῦ νέου Ἰσραὴλ καὶ ἱππεὺς αὐτοῦ, ἀπόλαυέ σου τὰ νικητήρια. Ἡ δεξιὰ τοῦ Κυρίου, ἥτις ἐπὶ γῆς διὰ θλίψεων σὲ εὐλόγησε καὶ σὲ ἐδόξασεν, αὐτὴ καὶ νῦν ἐν οὐρανῷ στεφανοῖ τὴν ἱεραρχικὴν κορυφήν σου στεφάνῳ δόξης ἀϊδίου καὶ μακαριότητος.

Ἀλλὰ περὶ μὲν τῆς συστάσεως τῆς ἑορτῆς τοῦ ἁγίου ἅλις ἐχέτω. Οἴδαμεν δὲ ὅτι εὐαρέστως οἱ Ὀρθόδοξοι ἀποδέξονται τὰ ἐν τούτοις παρεκβατικώτερον εἰρημένα περὶ τῆς ἁγιότητος τοῦ θεσπεσίου Ἱεράρχου, τῆς τοῦ λόγου φορᾶς κατενεγκούσης ἡμᾶς εἰς τοῦτο διὰ τὰ κατ' αὐτοῦ ἀνυπόστατα ψεύδη καὶ τοὺς αὐτόχρημα λήρους τῶν Παπιστῶν, τῶν πάντων ἐθνικαῖς προλήψεσι καὶ τῇ ἰδίᾳ φατρίᾳ τε καὶ συμμορίᾳ δουλευόντων, καὶ πεισματωδῶς ἀλλήλους ἀντιγραφόντων δίχα κρίσεως, μακρὰν πάσης ἀληθείας, καὶ ἐναντίον τῆς ἰδίας αὐτῶν συνειδήσεως, τοῦθ' ὅπερ καὶ μόνον ἀρκεῖ ἵνα μὴ ἀφεθῇ αὐτοῖς οὔτε ἐν τῷ νῦν αἰῶνι, οὔτε ἐν τῷ μέλλοντι.

Λέγομεν δὲ ἤδη καὶ περὶ τῆς συντάξεως τῆς προκειμένης Ἀκολουθίας. Τὸ ἀσφαλέστερον διώκοντες συνετάξαμεν αὐτὴν ἐρανισάμενοι σχεδὸν ἅπαντα ἐκ τῶν ἐπ' Ἐκκλησίας εἰς Ἱεράρχας ᾀδομένων ἱερῶν ὕμνων, πολλοὺς δὲ μάλιστα τούτων καὶ κατὰ λέξιν ἀντεγράψαμεν, ἑπόμενοι καὶ

---

(α) Ἀνάγνωθι τὰς σοφὰς σκέψεις τοῦ σοφωτάτου καὶ εὐσεβεστάτου ἀνδρὸς Κυρίου Ἀλεξ. Στούρζα. Considérations sur la doctrine et l'esprit de l'Eglise Orthodoxe Σελ. 172—188. Weimar, 1816.

ἄλλοις μὲν τῶν πρὸ ἡμῶν (α), ἐξαιρέτως δὲ τῇ πράξει τῆς Ἐκκλησίας, τῆς πολλούς τινας τοὺς ὕμνους ψαλλούσης ἀπὸ κοινοῦ εἰς ἑκάστην τάξιν Ἁγίων, ὡς πᾶς τις δύναται πληροφορηθῆναι περὶ τούτου, ἀναγινώσκων τὰ Μηναῖα καὶ ἄλλα ἐκκλησιαστικὰ βιβλία. Προεκρίναμεν δὲ τούτους τῶν ἡμετέρων τυχὸν ψελλισμάτων, καὶ ὡς ὑπὸ θεοφόρων καὶ ἁγίων ἀνδρῶν συντεθέντας, καὶ ὡς ἰδίας τινὸς τῆς χάριτος πλουτοῦντας· ἔχονται γὰρ οὐ μόνον ποιητικῆς ἰδέας, ἐκκλησιαστικῇ ὑμνολογίᾳ προσηκούσης, ἀλλ' ὅπερ καὶ κάλλιστον, περιέχουσι καὶ διακηρύττουσιν αὐτὴν τῶν Θεοπνεύστων Γραφῶν καὶ τῆς ἱερᾶς Παραδόσεως τὴν θείαν καὶ ἄμωμον καὶ οὐράνιον διδασκαλίαν· καὶ εἰσὶν ἄρα Γραφαὶ καὶ Παραδόσεις ᾀσματολογούμεναι, καὶ ὡς εἰπεῖν μελῳδικῶς θεολογοῦσαι, καὶ μεγάλῃ οὕτω τῇ φωνῇ διατρανοῦσαι τὰ περὶ ἡμᾶς τοῦ Θεοῦ μεγαλεῖα. Ἐντεῦθεν καὶ ἐπιλάμπει ἐν αὐτοῖς διαρρήδην τὸ ὕψος, τὸ κάλλος, τὸ ἀφελές, τὸ σφοδρόν, τὸ παθητικὸν καὶ κατανυκτικόν, τὸ ὑψηλὸν καὶ μεγαλοπρεπὲς τῶν Ἁγίων Γραφῶν, μετὰ καὶ τῆς τῶν μεγάλων τῆς Ἐκκλησίας θείων Πατέρων ἐν πολλοῖς ὑψηγορίας, καὶ εὐφραδείας, καὶ δεινότητος, καὶ καλλιεπείας· ὧν οὐκ ἄν τις ἔξαρνος γένοιτο, εἰ μὴ ἄνθρωπος βλὰξ καὶ ἀβέλτερος, ἢ κακόνους καὶ ἐθελόκακος, καὶ τὴν εὐσέβειαν χλιαρός, ἢ μηδεμίαν ἀληθῆ αἴσθησιν τοῦ καλοῦ ἔχων, ἢ καί τις τῶν ἐπιπολαίων ἐκείνων, τῶν τὰ πάντα μὲν εἰδέναι ἐπαγγελλομένων, μηδέν τι ὅμως κυρίως καὶ βασίμως ἐπισταμένων· ἀλλ' οὐδεὶς ἡμῖν ἐπὶ τοῦ παρόντος πρὸς τούτους ὁ λόγος.

Ἐπισημειούσθω δὲ καὶ τοῦτο ὡς δίκαιον. Οἱ μὲν δύο πρῶτοι Ἰαμβικοὶ στίχοι οἱ πρὸ τοῦ Συναξαρίου, εἰσίν, ὡς γνωστόν, τοῦ ἀοιδίμου Νικοδήμου τοῦ Ἁγιορείτου, τοῦ νεωτάτου τούτου τῆς Ἐκκλησίας σεμνολογήματος· οἱ δ' ἐφεξῆς τρεῖς, ἤτοι οἱ δύο Ἰαμβικοὶ καὶ ὁ Ἡρωϊκός, συνετέθησαν χάριν εὐλαβείας τῆς πρὸς τὸν Ἅγιον ὑπὸ τοῦ ἐλλογιμωτάτου κυρίου Ἠλία Ταντaλίδου, καθηγητοῦ τῶν ἑλληνικῶν Γραμμάτων ἐν τῇ Θεολογικῇ Σχολῇ τῆς ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας. Ὁ δὲ βίος τοῦ Ἁγίου, ἐκτεθεὶς παρ' ἡμῶν κατὰ τὸν τύπον τῶν ἐπ' Ἐκκλησίας ἀναγινωσκομένων ὑπομνημάτων, ἤτοι τῶν ἱερῶν Συναξαρίων, συνωψίσθη ἐκ τῆς αὐτοῦ πλατυτέρας βιογραφίας τῆς σοφώτατα καὶ φιλαληθέστατα συγγραφείσης ὑπὸ τοῦ ἐν μακαρίοις Ἱεράρχου Νικηφόρου τοῦ Θεοτόκη (β).

Ἔρρωσθε γοῦν οἱ τῇ ἱερᾷ ταύτῃ Ἀκολουθίᾳ ἐντυγχάνοντες, ἐν Χριστῷ ἀδελφοί· μνημονεύετε

(α) Βλ. πολλὰς ἄλλας ἐν Φυλλάδι Ἀκολουθίας, καὶ ἐξαιρέτως τὰς τῶν Ἁγίων τῶν ἐν Κύπρῳ.

(β) Βλ. Τὴν εἰς τὴν Ὀκτάτευχον Σειράν, τὴν ἐκδοθεῖσαν ὑπὸ τοῦ Ἱεροῦ Νικηφόρου τοῦ Θεοτόκη. Τόμ. Β' σελ. ι'—ιϛ'. Ὡσαύτως καὶ Πέτραν σκανδάλου τοῦ μακαρίου Ἠλία Μηνιάτου· καθὼς ἔτι καὶ τὴν ὑπὸ Ἠ. Ταντaλίδου ἐκδοθεῖσαν ἐν Κωνσταντινουπόλει τῷ ,αωμζ' Ἐπιστολιμαίαν Ἐπίκρισιν μετὰ καὶ τοῦ εἰς ταύτην Ἐπιμέτρου, ἐν οἷς ὁ σοφώτατος τούτων καὶ καλλιστέφανος συγγραφεὺς καὶ τῆς πατρῴας πίστεως ἔνθερμος ζηλωτὴς τήν τε τοῦ ἱερωτάτου Φωτίου ἁγιότητα ἀναντιρρήτως ἀποδείκνυσι, καὶ τὰς τῆς ποικιλομόρφου παπικῆς αἱρέσεως ἀποτοξευομένας κατ' ἐκείνου βλασφημίας γενναιότατα ἀνασκευάζει. Εὐχῆς ἔργον δ' ἂν εἴη, εἴπερ ἐπὶ τούτοις αὐτὸς οὗτος ὁ ἔξοχος καὶ θεοδώρητος ὄντως τῆς ὑγιαινούσης διδασκαλίας προασπιστὴς συνέγραφεν ἐκ προθέσεως καὶ κατὰ πλάτος τὸν θαυμάσιον βίον τοῦ λαμπροῦ καὶ φαεινοῦ τῆς Ἐκκλησίας Πατρὸς καὶ Ἱεράρχου Φωτίου, ἢ ἕτερός τις, δυνάμενος ἐπίσης διὰ τῶν σοφῶν αὐτοῦ λόγων ταῖς μὲν τῶν Ὀρθοδόξων ψυχαῖς τὸ τῆς εὐσεβείας γλεῦκος ἐνσταλάξαι, τοῖς δὲ τὸν λόγον τοῦ Θεοῦ καπηλεύουσι καὶ ἀναιδέσι τοῦ ψεύδους προστάταις τὴν τῆς ἀληθείας δριμύτητα, ὡς εἰκός, πρὸς σωφρονισμὸν αὐτῶν ἐπαφεῖναι.



δὲ καὶ ἡμῶν τῶν ἐκπονησάντων καὶ δι' εὐλάβειαν καὶ μόνην τὴν πρὸς τὸν Ἅγιον εἰς τὴν σύνταξιν ταύτης παρορμηθέντων, μὴ διαλείποντες καθικετεύειν ἐκτενῶς τὸν Κύριον ὅπως διαφυλάττῃ τὴν Μίαν, Ἁγίαν, Καθολικὴν καὶ Ἀποστολικὴν αὐτοῦ Ὀρθόδοξον Ἐκκλησίαν ἀπὸ πάσης ἐπιβουλῆς καὶ ἐπηρείας αἱρετικῶν ἀνθρώπων. Ἰδοὺ γὰρ καὶ νῦν ὡς ὑπὲρ ἄλλοτέ ποτε ποικίλοι καὶ πολυειδεῖς περιάγουσιν οὗτοι θάλασσαν καὶ ξηρὰν ποιῆσαι ἕνα προσήλυτον· καὶ ὅταν γένηται, ποιοῦσιν αὐτὸν υἱὸν γεένης διπλότερον αὐτῶν. Ὑποδρηστῆρες τοῦ διαβόλου, ὀργῆς καὶ κατάρας τέκνα, καὶ δαίμονες σαρκοφόροι, σκεύη τοῦ Σατανᾶ καὶ υἱοὶ λοιμῶν καὶ ἀπωλείας, ὀφθαλμοὺς ἔχοντες μεστοὺς μοιχαλίδος, καὶ δελεάζοντες ψυχὰς ἀστηρίκτους, περιπατοῦσιν ὡς λέοντες ὠρυόμενοι, ζητοῦντες τίνα καταπίωσι. Συντριβήτωσαν ὑπὸ τὴν σημείωσιν τοῦ τύπου τοῦ Σταυροῦ πᾶσαι τούτων αἱ ἐναντίαι δυνάμεις. Συνθλασθήτωσαν αἱ μύλαι αὐτῶν τῇ δυνάμει τοῦ Πνεύματος. Πληρωθήτωσαν τὰ πρόσωπα αὐτῶν ἀτιμίας. Συγκαμφθήτω ὁ νῶτος αὐτῶν διαπαντὸς τῇ τῶν καλῶν καὶ γνησίων ποιμένων τῆς Ἐκκλησίας ποιμαντικῇ ῥάβδῳ. Καταρραχθήτω ἡ ἐπηρμένη αὐτῶν ὀφρῦς τῷ ῥήματι τοῦ Θεοῦ, καὶ τῇ προσευχῇ καὶ τοῖς δάκρυσι τῆς Ἐκκλησίας. Κύριε ὁ Θεὸς ἡμῶν, εἰρήνην δὸς ἡμῖν. Κύριε ὁ Θεὸς ἡμῶν, δὸς αὐτοῖς μετάνοιαν καὶ ἐπιστροφήν, ἕλκυσον αὐτοὺς εἰς τὴν ἐπίγνωσιν τῆς σῆς ἀληθείας, ἐπισυνάγων ἅπαντας εἰς τὴν ἑνότητα τῆς Πίστεως καὶ τὴν κοινωνίαν τοῦ Ἁγίου Πνεύματος, διὰ τῶν εὐπροσδέκτων πρεσβειῶν τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν καὶ Ἰσαποστόλου Φωτίου Πατριάρχου Κωνσταντινουπόλεως τοῦ Ὁμολογητοῦ, καὶ πάντων τῶν Ἁγίων, πρὸ δὲ πάντων, καὶ μετὰ πάντων, τῆς ὑπερευλογημένης ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ Ἀειπαρθένου Μαρίας· ὧν ταῖς ἱκεσίαις ἀξιωθείημεν, ἀδελφοί, καὶ τῶν αἰωνίων ἐκείνων καὶ ἀνεκλαλήτων ἀγαθῶν, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν, δοξάζοντες ἀκαταπαύστως μετὰ Ἀγγέλων καὶ Ἁγίων τὴν Παναγίαν καὶ Ὁμοούσιον καὶ Ζωοποιὸν καὶ Ἀδιαίρετον Τριάδα, τὸν Πατέρα, καὶ τὸν Υἱόν, καὶ τὸ Ἅγιον Πνεῦμα, τὸν ἕνα καὶ μόνον ἀληθινὸν Θεόν, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἔγραφον ἐν Κωνσταντινουπόλει, τῇ ιβ' ὀκτωβρίου τοῦ ,αωμη' σωτηρίου ἔτους.

**† Ο ΣΤΑΥΡΟΥΠΟΛΕΩΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Ο ΤΥΠΑΛΔΟΣ**

# ΤΗ ΣΤ΄ ΦΕΒΡΟΥΑΡΙΟΥ ΜΗΝΟΣ

## ΜΝΗΜΗ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΚΑΙ ΙΣΑΠΟΣΤΟΛΟΥ

# ΦΩΤΙΟΥ

## ΠΑΤΡΙΑΡΧΟΥ ΚΩΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΤΟΥ ΟΜΟΛΟΓΗΤΟΥ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ • ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑ

**Ἑσπέρας,** *ἐν τῷ μικρῷ Ἑσπερινῷ, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχ. δ΄ καὶ ψάλλομεν στιχ. Προσόμοια δ΄, ἦχος α΄.*

Τῶν Οὐρανίων Ταγμάτων.

ΤΟΝ Ἱεράρχην Κυρίου, ἀνευφημοῦμέν σε, Πατριαρχῶν τὸ κλέος, τῆς Χριστοῦ Ἐκκλησίας, τὸν μέγαν πρωτοστάτην καὶ φαεινὸν, ἱερώτατε Φώτιε· ταῖς σαῖς οὖν Πάτερ πρεσβείαις σκέπε ἡμᾶς, τοὺς τιμῶντάς σου τὴν κοίμησιν.

Τὰς οὐρανίους σκηνώσεις, ἐν εὐφροσύνῃ οἰκῶν, καὶ σὺν Ἀγγέλοις Πάτερ, παρεστὼς παῤῥησίᾳ τῷ θρόνῳ τοῦ Κυρίου, τοῖς ἐπὶ γῆς, ἐκτελοῦσι τὴν μνήμην σου, τῶν ἐγκλημάτων τὴν λύσιν καὶ τῶν παθῶν, δωρηθῆναι καθικέτευε.

Τῆς καθαρᾶς σου καρδίας, τοῦ θείου Πνεύματος, φωτιστικαῖς ἀκτῖσιν, αὐγασθείσης πλουσίως, τρισμάκαρ Θεηγόρε, φωτοειδὴς, ἀληθῶς ἐχρημάτισας, καὶ τῶν αἱρέσεων σκότος τὸ χαλεπὸν, θείᾳ χάριτι διέλυσας.

Τοῖς οὐρανίοις Ἀγγέλοις, νῦν συνηρίθμησαι, καὶ παρεστὼς Τριάδι τῇ ἁγίᾳ τρισμάκαρ, αὐτὴν καθικετεύεις ὑπὲρ ἡμῶν, τῶν ἐν πίστει τιμώντων σου, τὴν πανσεβάσμιον μνήμην καὶ τῶν δεινῶν, αἰτουμένων ἀπολύτρωσιν.

Δόξα, *ἦχος πλ. δ΄.*

Δεῦτε πάντες οἱ πιστοὶ, τὸν Ἱεράρχην καὶ φίλον Κυρίου, Φώτιον τὸν πανθαύμαστον, εὐσεβῶς ἀνευφημήσωμεν· οὗτος γὰρ ἀποστολικῆς διδασκαλίας γενόμενος ἔμπλεως, καὶ τοῦ Ἁγίου Πνεύματος καταγώγιον, δι᾽ ἐναρέτου πολιτείας ἀναδειχθεὶς, ἐκ τῆς Καθολικῆς Ἐκκλησίας διὰ δογμάτων τοὺς λύκους ἀπήλασε· καὶ τὴν Ὀρθόδοξον Πίστιν σαφῶς τρανώσας, στύλος ἀναδέδεικται, καὶ εὐσεβείας πρόμαχος· διὸ καὶ μετὰ πότμον παριστάμενος ἐγγύτερον τῷ Χριστῷ, ἀδιαλήπτως πρεσβεύει ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν, *τῆς Ἑορτῆς.*

*Εἰς τὸν στίχ. ,στχ΄. ἦχος β΄.* Οἶκος τοῦ Ἐφραθᾶ.

Ἄγε δὴ τῶν πιστῶν, ὁμήγυρις ἡ θεία, αἰνέσωμεν προφρόνως, τὸν μέγαν Ἐκκλησίας, Ἀρχιεράρχην Φώτιον.

*Στίχ.* Τὸ στόμα μου λαλήσει σοφίαν.

Ὤφθης ἐκ μητρικῶν, σπαργάνων θεοφόρε, ἡγιασμένον σκεῦος, Πατὴρ ἡμῶν καὶ οἶκος, τοῦ Παναγίου Πνεύματος.

*Στίχ.* Στόμα δικαίου μελετήσει σοφίαν.

Ὕμνους σοι προσφωνεῖ, ἡ σὴ Μονὴ θεόφρων, Σιὼν τῆς νέας ἥνπερ, διάσωζε λιταῖς σου, πρὸς Κύριον ἑκάστοτε.

Δόξα, *ἦχος β΄.*

Ἱεραρχῶν τὸ θεῖον ἀγλάϊσμα, Φώτιε Πάτερ ἀοίδιμε, κατὰ τὸ ὄνομά σου, οὕτω καὶ ἡ πολιτεία σου· ἡ ζωή σου ἔνδοξος, καὶ ἡ κοίμησις μετὰ Ἁγίων· πρέσβευε οὖν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν, *τῆς Ἑορτῆς.*

*Ἀπολυτίκιον, ἦχος δ΄.*

Ὡς τῶν Ἀποστόλων ὁμότροπος, καὶ τῆς Οἰκουμένης διδάσκαλος, τῷ Δεσπότῃ τῶν ὅλων ἱκέτευε Φώτιε, εἰρήνην τῇ Οἰκουμένῃ δωρήσασθαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν, *τῆς Ἑορτῆς. Καὶ Ἀπόλυσις.*

---

*Ἐν δὲ τῷ μεγάλῳ Ἑσπερινῷ, μετὰ τὸν Προοιμιακὸν, στιχολογοῦμεν* τὸ Μακάριος ἀνήρ. *Εἰς δὲ τὸ* Κύριε ἐκέκραξα *ἱστῶμεν στίχ. ς΄ καὶ ψάλλομεν στιχ. Προσόμοια τῆς Ἑορτῆς γ΄ καὶ τοῦ Ἁγίου γ΄, ἦχος β΄.*

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Ὅτε ἐπινεύσει θεϊκῇ, μέγας τῆς Χριστοῦ Ἐκκλησίας προεχειρίσθης Ποιμὴν, καὶ τὴν τῆς αἱρέσεως καθεῖλες ἔπαρσιν, διελέγξας προσθήκην τε τὴν ἐν τῷ Συμβόλῳ, τότε ἡ ὁμήγυρις πιστῶν ἐκρότησε, χεῖρας ἐν χαρᾷ ἐκβοῶσα, δόξα σοι Τριὰς Παναγία, δόξα σοι Τριὰς ἡ Ὁμοούσιος.

Ὅτε παρ᾽ ἀνόμων δικαστῶν, Πάτερ ἀπηλάθης ἀδίκως τοῦ σοῦ ποιμνίου σοφὲ Φώτιε πανθαύμαστε, καὶ ὄντως μέγιστε, Ἱεράρχα θεσπέσιε, καὶ φίλε Κυρίου, τότε ἀπεθαύμασαν τὴν καρτερίαν σου, θάμβει συνοχῇ τε καρδίας, ἅπαντες Ὀρθόδοξοι ἦρθη, λέγοντες ἐκ μέσου νῦν ὁ δίκαιος.



Ὅτε ἐκοιμήθης ἱερῶς, τὸν Ἁγίοις πρέποντα ὕπνον, Φώτιε ἔνδοξε, τότε θεολόγων σε δῆμοι προέπεμψαν, ὡς στεῤῥὸν αὐτῶν πρόμαχον, καὶ πάντων Ἀγγέλων τάγματα ἐκρότησαν ἐν τῇ ἀνόδῳ σου· τότε καὶ Τριὰς ἡ ἁγία, ὑπὲρ ἧς στεῤῥῶς ἠγωνίσω, δόξης σε στεφάνοις ἐστεφάνωσε.

*Ἕτερα Προσόμοια, ἦχος δ΄.* Ὡς γενναῖον ἐν μάρτυσι.

Τὸ τῆς χάριτος ὄργανον, τὴν κιθάραν τοῦ Πνεύματος, στύλον τὸν ἀκράδαντον θείας Πίστεως ὀρθοδοξίας τὸν πρόμαχον, τὸν μέγαν διδάσκαλον, Ἱεράρχην τὸν κλεινὸν, Ἐκκλησίας τὸ στήριγμα, τὸν λαμπρότατον, ἀριστέα Κυρίου μελῳδίαις, εὐφημήσωμεν ἐνθέως, τὸν ἁγιώτατον Φώτιον.

Τὸν πυρίπνοον ῥήτορα, Οἰκουμένης διδάσκαλον, Κωνσταντινουπόλεως θεῖον Πρόεδρον, Ἀρχιερέα τὸν μέγιστον, ποιμένα πανάριστον, Ἐκκλησίας τοῦ Χριστοῦ, τὸν λαμπρότατον Φώτιον, ἀνυμνήσωμεν, οἱ Ὀρθόδοξοι πάντες ὁμοφώνως, ἱεραῖς ἐν ὑμνῳδίαις, Πατριαρχῶν τὸν Πρωτόθρονον.

Παρανόμῳ προστάγματι, ἀπηλάθης τῆς ποίμνης σου, θλίψεσι βασάνοις τε προσωμίλησας, ὑπὲρ τῆς Πίστεως ἔνδοξε, στεῤῥότατε Φώτιε, Ἱεράρχα φαεινὲ, Ἐκκλησίας ἑδραίωμα, στύλε ἄσειστε, διὸ πάντες τιμῶμέν σε προφρόνως, ὡς διδάσκαλον καὶ μύστην, Ὀρθοδοξίας ἀοίδιμε.

Δόξα, *ἦχος πλ. β΄.*

Ὅσιε τρισμάκαρ, ἁγιώτατε Πάτερ, ὁ Ποιμὴν ὁ καλὸς, καὶ τοῦ Ἀρχιποίμενος Χριστοῦ μαθητὴς, ὁ τιθεὶς τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων· αὐτὸς καὶ νῦν πανεύφημε, ἱερώτατε Φώτιε, αἴτησαι πρεσβείαις σου, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Καὶ νῦν, *τῆς Ἑορτῆς. Εἴσοδος·* τὸ Φῶς ἱλαρὸν, *τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.*

**Παροιμιῶν τὸ Ἀνάγνωσμα.**

Κεφ. ι΄. 8. Μνήμη δικαίου μετ᾽ ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν, καὶ θνητὸς ὃς εἶδε φρόνησιν. Κρεῖττον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν· (οὐκ ἀντιτάσσεται αὐτῇ οὐδὲν πονηρὸν, εὔγνωστός ἐστι πᾶσι τοῖς ἐγγίζουσιν αὐτήν). Πᾶν δὲ τίμιον, οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη. Νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν, ἀκούσατέ μου, ὦ τέκνα· σεμνὰ γὰρ ἐρῶ· καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ γὰρ ἔξοδοί μου, ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐεμαι ἐμὴν φωνὴν Υἱοῖς ἀνθρώπων. Ὅτι ἐγὼ ἡ σοφία κατεσκεύασα βουλὴν καὶ γνῶσιν καὶ ἔννοιαν· ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν, σεμνὰ γὰρ ἐρῶ, καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῆ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα

ΓΕΝΝΑΔΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ — ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

τοῦ στόματός μου, οὐδὲν ἐν αὐτοῖς σκολιὸν, οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ἡμῶν, καὶ πλησθήσεσθε πνεύματος.

**Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα**

Κεφ. δ'. 14. Ἐγκωμιαζομένου Δικαίου, εὐφρανθήσονται λαοί· ἀθανασία γάρ ἐστιν ἡ μνήμη αὐτοῦ, ὅτι καὶ παρὰ Θεῷ γινώσκεται, καὶ παρὰ ἀνθρώποις. Καὶ ἀρεστὴ Κυρίῳ ἡ ψυχὴ αὐτοῦ. Ἐπιθυμήσατε τοιγαροῦν ὦ ἄνδρες σοφίαν, καὶ ποθήσατε, καὶ παιδευθήσεσθε. Ἀρχὴ γὰρ αὐτῆς ἀγάπη, καὶ τήρησις νόμων. Τιμήσατε σοφίαν, ἵνα εἰς τὸν αἰῶνα βασιλεύσητε. Ἀπαγγελῶ ὑμῖν, καὶ οὐ κρύψω ἀφ' ὑμῶν μυστήρια Θεοῦ. Ὅτι αὐτὸς καὶ τῆς σοφίας ὁδηγός ἐστι, καὶ τῶν σοφῶν διορθωτής. Καὶ ἐν τῇ χειρὶ αὐτοῦ πᾶσα φρόνησις καὶ ἐργασιῶν ἐπιστήμη. Ἡ πάντων φρόνησις, ἐδίδαξε σοφίαν· ἔστι γὰρ ἐν αὐτῇ πνεῦμα νοερὸν, ἅγιον. Ἀπαύγασμα φωτὸς ἀϊδίου, καὶ εἰκὼν τῆς ἀγαθότητος τοῦ Θεοῦ. Αὕτη φίλους Θεοῦ καὶ Προφήτας κατασκευάζει. Εὐπρεπεστέρα δέ ἐστιν Ἡλίου, καὶ ὑπὲρ πᾶσαν ἀστέρων θέσιν· φωτὶ συγκρινομένη, εὑρίσκεται προτιμοτέρα. Αὕτη τοὺς θεραπεύσαντας αὐτὴν ἐκ πόνων ἐῤῥύσατο, καὶ ὡδήγησεν ἐν τρίβοις εὐθείαις. Ἔδωκεν αὐτοῖς γνῶσιν ἁγίαν. Καὶ διεφύλαξεν αὐτοὺς ἀπὸ ἐνεδρευόντων, καὶ ἀγῶνα ἰσχυρὸν ἐβράβευσεν αὐτοῖς· ἵνα γνῶσι πάντες, ὅτι δυνατωτέρα παντός ἐστιν ἡ εὐσέβεια. Καὶ οὐ μὴ κατισχύσῃ ποτὲ κακία σοφίας, οὐδ' οὐ μὴ παρελεύσεται πονηροὺς ἐλέγχουσα ἡ δίκη. Εἶπον γὰρ ἐν αὐτοῖς λογισάμενοι οὐκ ὀρθῶς. Καταδυναστεύσωμεν τὸν δίκαιον, μὴ φεισώμεθα τῆς ὁσιότητος αὐτοῦ, μηδὲ ἐντραπῶμεν πολιὰς πρεσβύτου πολυχρονίους. Ἔστω δὲ ἡμῶν ἡ ἰσχὺς, νόμος. Καὶ ἐνεδρεύσωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστιν, καὶ ἐναντιοῦται τοῖς ἔργοις ἡμῶν, καὶ ἐπιφημίζει ἡμῖν ἁμαρτήματα παιδείας ἡμῶν. Ἐπαγγέλλεται γνῶσιν ἔχειν Θεοῦ, καὶ παῖδα Κυρίου ἑαυτὸν ὀνομάζει. Ἐγένετο ἡμῖν εἰς ἔλεγχον ἐννοιῶν ἡμῶν. Βαρύς ἐστιν ἡμῖν καὶ βλεπόμενος, ὅτι ἀνόμοιος τοῖς ἄλλοις ὁ βίος αὐτοῦ, καὶ ἐξηλλαγμέναι αἱ τρίβοι αὐτοῦ. Εἰς κίβδηλον ἐλογίσθημεν αὐτῷ, καὶ ἀπέχεται τῶν ὁδῶν ἡμῶν ὡς ἀπὸ ἀκαθαρσιῶν, καὶ μακαρίζει ἔσχατα δικαίων. Ἴδωμεν οὖν, εἰ οἱ λόγοι αὐτοῦ ἀληθεῖς, καὶ πειράσωμεν τὰ ἐν ἐκβάσει αὐτοῦ. Ὕβρει καὶ βασάνῳ ἐτάσωμεν αὐτὸν, ἵνα γνῶμεν τὴν ἐπιείκειαν αὐτοῦ, καὶ δοκιμάσωμεν τὴν ἀνεξικακίαν αὐτοῦ. Θανάτῳ ἀσχήμονι καταδικάσωμεν αὐτόν· ἔσται γὰρ αὐτοῦ ἐπισκοπὴ ἐκ λόγων αὐτοῦ. Ταῦτα ἐλογίσαντο καὶ ἐπλανήθησαν· ἀπετύφλωσε γὰρ αὐτοὺς ἡ κακία αὐτῶν. Καὶ οὐκ ἔγνωσαν μυστήρια Θεοῦ· οὐδὲ ἔκριναν ὅτι σὺ εἶ Θεὸς μόνος, ὁ ζωῆς ἔχων καὶ θανάτου τὴν ἐξουσίαν, καὶ σώζων ἐν καιρῷ θλίψεως, καὶ ῥυόμενος παντὸς κακοῦ· ὁ οἰκτίρμων καὶ ἐλεήμων, καὶ διδοὺς τοῖς ὁσίοις σου χάριν, καὶ τῷ σῷ βραχίονι τοῖς ὑπερηφάνοις ἀντιτασσόμενος.

**Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.**

Κεφ. ι'. 32. Στόμα δικαίου ἀποστάζει σοφίαν, χείλη δὲ ἀνδρῶν ἐπίστανται χάριτας· στόμα σοφῶν μελετᾷ σοφίαν. Δικαιοσύνη δὲ ῥύεται αὐτοὺς ἐκ θανάτου. Τελευτήσαντος ἀνδρὸς δικαίου, οὐκ ὄλλυται ἐλπίς. Υἱὸς γὰρ δίκαιος γεννᾶται εἰς ζωὴν, καὶ ἐν ἀγαθοῖς αὐτοῦ καρπὸν δικαιοσύνης τρυγήσει. Φῶς δικαίοις διὰ παντὸς, καὶ παρὰ Κυρίου εὑρήσουσι χάριν καὶ δόξαν. Γλῶσσα σοφῶν καλὰ ἐπίσταται, καὶ ἐν καρδίᾳ αὐτῶν ἀναπαύσεται σοφία. Ἀγαπᾷ Κύριος ὁσίας καρδίας, δεκτοὶ δὲ αὐτῷ πάντες ἄμωμοι ἐν ὁδῷ Σοφίας Κυρίου, φωτιεῖ πρόσωπον συνετοῦ. Φθάνει γὰρ τοὺς ἐπιθυμοῦντας αὐτὴν, πρὸ τοῦ γνωσθῆναι, καὶ εὐχερῶς θεωρεῖται ὑπὸ τῶν ἀγαπώντων αὐτήν. Ὁ ὀρθρίσας πρὸς αὐτὴν οὐ κοπιάσει, καὶ ὁ ἀγρυπνήσας δι' αὐτὴν ταχέως ἀμέριμνος ἔσται. Ὅτι τοὺς ἀξίους αὐτῆς αὐτὴ περιέρχεται ζητοῦσα, καὶ ἐν ταῖς τρίβοις φαντάζεται αὐτοῖς εὐμενῶς. Σοφίας οὐ κατισχύσει ποτὲ κακία. Διὰ ταῦτα καὶ ἐραστὴς ἐγενόμην τοῦ κάλλους αὐτῆς, καὶ ἐφίλησα ταύτην, καὶ ἐξεζήτησα ἐκ νεότητός μου, καὶ ἐζήτησα νύμφην ἀγαγέσθαι ἐμαυτῷ. Ὅτι ὁ πάντων Δεσπότης ἠγάπησεν αὐτήν. Μύστις γάρ ἐστι τῆς τοῦ Θεοῦ ἐπιστήμης, καὶ αἱρέτης τῶν ἔργων αὐτοῦ. Οἱ πόνοι αὐτῆς εἰσὶν ἀρεταί· σωφροσύνην δὲ καὶ φρόνησιν αὕτη διδάσκει, δικαιοσύνην, καὶ ἀνδρίαν, ὧν χρησιμώτερον οὐδέν ἐστιν ἐν βίῳ ἀνθρώποις. Εἰ δὲ καὶ πολυπειρίαν ποθεῖ τις, οἶδε τὰ ἀρχαῖα καὶ τὰ μέλλοντα εἰκάζειν· ἐπίσταται στροφὰς λόγων, καὶ λύσεις αἰνιγμάτων, σημεῖα καὶ τέρατα προγινώσκει, καὶ ἐκβάσεις καιρῶν καὶ χρόνων. Καὶ πᾶσι σύμβολός ἐστιν ἀγαθή. Ὅτι ἀθανασία ἐστὶν ἐν αὐτῇ, καὶ εὔκλεια ἐν κοινωνίᾳ λόγων αὐτῆς. Διὰ τοῦτο ἐνέτυχον τῷ Κυρίῳ, καὶ ἐδεήθην αὐτοῦ· καὶ εἶπον ἐξ ὅλης μου τῆς καρδίας· Θεὲ πατέρων καὶ Κύριε τοῦ ἐλέους, ὁ ποιήσας τὰ πάντα ἐν λόγῳ σου, καὶ τῇ σοφίᾳ σου κατασκευάσας τὸν ἄνθρωπον, ἵνα δεσπόζῃ τῶν ὑπὸ σοῦ γενομένων κτισμάτων, καὶ διέπῃ τὸν κόσμον ἐν ὁσιότητι καὶ δικαιοσύνῃ. Δός μοι τὴν τῶν σῶν θρόνων πάρεδρον σοφίαν, καὶ μή με ἀποδοκιμάσῃς ἐκ παίδων σου. Ὅτι ἐγὼ δοῦλος σὸς καὶ υἱὸς τῆς παιδίσκης σου. Ἐξαπόστειλον αὐτὴν ἐξ ἁγίου κατοικητηρίου σου, καὶ ἀπὸ θρόνου δόξης σου, ἵνα συμπαροῦσά μοι διδάξῃ με, τί εὐάρεστόν ἐστι παρὰ σοί. Καὶ ὁδηγήσῃ με ἐν γνώσει, καὶ φυλάξῃ με ἐν τῇ δόξῃ αὐτῆς· λογισμοὶ γὰρ θνητῶν πάντες δειλοὶ, καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι αὐτῶν.



*Εἰς τὴν Λιτὴν στιχηρὰ ἰδιόμελα, ἦχος α'.*

Εὐφραίνου ἐν Κυρίῳ πόλις ἡ Κωνσταντίνου, καὶ πᾶσα πόλις καὶ νῆσος, καὶ χώρα ἐπὶ τῇ σεβασμίᾳ μνήμῃ τοῦ κοινοῦ Ποιμενάρχου, καὶ τῆς καθολικῆς Ἐκκλησίας φωστῆρος καὶ Διδασκάλου, Φωτίου τοῦ τρισμάκαρος· οὗτος γὰρ ἔτι ζῶν μεγάλως ἠγωνίσατο ὑπὲρ τῆς τοῦ Εὐαγγελίου πίστεως, καὶ νῦν ἐν Οὐρανοῖς ἀπολαύει τὰ τῶν καμάτων αὐτοῦ γέρα τὰ τίμια, πρεσβεύων ἀπαύστως Χριστῷ τῷ Θεῷ ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Ἦχος β'.*

Σὲ τὸν μέγαν Ἀρχιερέα καὶ Ποιμένα, τὸν ἄκακον καὶ ὅσιον, τῆς εὐσεβείας τὸν κήρυκα, τὸ πυρίπνοον στόμα τοῦ Πνεύματος, ἀνευφημοῦντες πόθῳ δεόμεθα· μετάδος ἡμῖν τῶν πρεσβειῶν σου, Πάτερ, εἰς ἀντάμειψιν τῶν ψυχῶν ἡμῶν.

*Ἦχος πλ. β'.*

Ἄνθρωπε τοῦ Θεοῦ, καὶ πιστὲ θεράπων, λειτουργὲ Κυρίου, ἄνερ ἐπιθυμιῶν, σκεῦος ἐκλογῆς, στῦλε καὶ ἑδραίωμα τῆς Ἐκκλησίας, βασιλείας κληρονόμε, μὴ παρασιωπήσῃς τοῦ βοᾷν ὑπὲρ ἡμῶν πρὸς Κύριον.

*Δόξα, ἦχος ὁ αὐτός.*

Εὖ δοῦλε ἀγαθὲ καὶ πιστέ, εὖ ἐργάτα τοῦ ἀμπελῶνος Χριστοῦ, σὺ καὶ τὸ βάρος τῆς ἡμέρας ἐβάστασας, σὺ καὶ τὸ δοθέν σοι τάλαντον ἐπηύξησας, καὶ τοῖς μετὰ σὲ ἐλθοῦσιν οὐκ ἐφθόνησας, διὸ πύλη σοι Οὐρανῶν ἠνέῳκται· εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου· καὶ πρέσβευε ὑπὲρ ἡμῶν Πάτερ ἁγιώτατε.

Καὶ νῦν *τῆς Ἑορτῆς. Καὶ αἱ συνήθεις εὐχαί. Εἰς τὸν στίχ. στιχ. Προσόμοια, ἦχος πλ. α'.*

Χαίροις ἀσκητικῶν ἀληθῶς.

Χαίροις Ἀρχιερεῦ τοῦ Χριστοῦ, χαίροις Πατέρων τὸ φαιδρὸν σεμνολόγημα, ὁ πράξει καὶ θεωρίᾳ, κεκοσμημένος λαμπρῶς, ἀρετῶν τῶν θείων τὸ θησαύρισμα· πρᾳότητος σκήνωμα, προσευχῆς ἐνδιαίτημα, τῆς ἀεννάου, τῆς σοφίας κειμήλιον, ταπεινώσεως, τὸ τερπνὸν καταγώγιον, ἥλιε διακρίσεως, εἰρήνης τὸ τέμενος, διπλῆς ἀγάπης ὁ οἶκος, τῆς πρὸς Θεὸν καὶ τὸν ἔγγιστα· Χριστὸν ἐκδυσώπει, τοῦ δωρήσασθαι τῷ κόσμῳ τὸ μέγα ἔλεος.

*Στίχ.* Τὸ στόμα μου λαλήσει σοφίαν.

Χαίροις Ἱεραρχῶν ὁ κανών, καὶ διδασκάλων ὁ προστάτης ὁ ἔνδοξος, τὸ στόμα τῶν Θεολόγων, τῆς Ἐκκλησίας Χριστοῦ, ὁ λαμπρὸς τῷ λόγῳ καὶ τοῖς δόγμασι· ποιμὴν ἀξιάγαστος, Ἀποστόλων ὁμότροπος, εὔστομος γλῶσσα, πᾶσαν αἵρεσιν τέμνουσα, ὥσπερ μάχαιρα ὀξυτάτη καὶ δίστομος, ὄργανον τὸ ἡδύφθογγον, ὁ νοῦς ὁ οὐράνιος, τῆς Ἐκκλησίας ὁ στύλος, τῶν εὐσεβῶν τὸ κραταίωμα, Χριστὸν καταπέμψαι, ταῖς ψυχαῖς ἡμῶν δυσώπει τὸ μέγα ἔλεος.

*Στίχ.* Στόμα δικαίου μελετήσει σοφίαν.

Χαίροις Πατριαρχῶν καλλονή, χαίροις ἁπάντων Ἱερέων τὸ καύχημα, δογμάτων πηγὴ ἡ θεία, τῆς Ἐκκλησίας στεῤῥός, στύλος τε καὶ βάσις ἀπερίτρεπτος, κανὼν ἀκριβέστατος, μυστογράφος σοφώτατος, Φώτιε Πάτερ ἀληθείας τὸ ἔρεισμα, ὁ λαμπρότατος, ἀριστεὺς καὶ περίδοξος, ἄνθρωπε ἐπουράνιε, ἐπίγειε Ἄγγελε, τῶν Ὀρθοδόξων ἡ δόξα, τῶν κακοδόξων ὁ πέλεκυς, Χριστὸν μὴ ἐλλίπῃς, ἱκετεύειν ὑπὲρ πάντων τῶν εὐφημούντων σε.

*Δόξα, ἦχος δ'.*

Ἔπρεπε τῇ βασιλίδι τῶν πόλεων καὶ Φώτιον αὐχεῖν Ἀρχιερέα, ὥσπερ τινὰ κόσμον βασιλικὸν καὶ λαμπρόφωνον σάλπιγγα, πάντα περιηχοῦσαν τὰ πέρατα, τὰ σωτήρια δόγματα, καὶ πάντας συναγείρουσαν πρὸς συνασπισμὸν ᾀσμάτων θεοπρεπῶν· πρὸς ὃν βοήσωμεν· Φωτολόγε καὶ Φωτώνυμε, Χριστὸν τὸν Θεὸν ἱκέτευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν, *τῆς Ἑορτῆς. Ἀπολυτίκιον, ἦχος δ'.*

Ὡς τῶν Ἀποστόλων ὁμότροπος καὶ τῆς Οἰκουμένης διδάσκαλος, τῷ Δεσπότῃ τῶν ὅλων ἱκέτευε, Φώτιε, εἰρήνην τῇ Οἰκουμένῃ δωρήσασθαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν· *τῆς Ἑορτῆς.*



*Εἰς τὸν Ὄρθρον, μετὰ τὴν α' στιχ. Κάθ. ἦχος α'.*

Τὸν τάφον σου Σωτήρ.

Ἐπέλαμψεν ἰδοὺ τῆς ψυχῆς μου τὸ ἔαρ· ἐπέφανεν ἰδοὺ τοῦ σοφοῦ Ἱεράρχου, Φωτίου τοῦ παμμάκαρος, ἡ φαιδρὰ μνήμη σήμερον. Ὅθεν ἅπαντες, ἀνευφημήσωμεν τοῦτον, ὡς στηρίξαντα, τῶν Ὀρθοδόξων τὴν πίστιν, δυνάμει τοῦ Πνεύματος.

Δόξα, καὶ νῦν· *τῆς Ἑορτῆς. Εἰς τὴν β' στιχολ. Κάθ. ἦχος γ'.* Θείας πίστεως.

Θείαν ἔλλαμψιν κεκληρωμένος, βίον ἔνθεον ἐξησκημένος, ὁμωνύμῳ ἱερατείᾳ διέπρεψας· ὑπερφυῶς γὰρ τρανώσας τὰ δόγματα, ὀρθοδοξίᾳ τὴν Πίστιν ἐστήριξας, Πάτερ ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν· *τῆς Ἑορτῆς. Μετὰ τὸν Πολυέλεον, Κάθ. ἦχος δ'.*

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὁ Ἱεράρχης καὶ σεπτὸς θεηγόρος, τῆς Ἐκκλησίας ὁ λαμπρὸς ὑποφήτης, τὰς διανοίας χάριτι ἀρδεύεις πιστῶν· τῶν αἱρετιζόντων δέ, κατακλύζεις τὰς φρένας, χάριν ἀναβλύζων τε, τῶν θαυμάτων ἐκπλύνεις, παθῶν παντοίων ῥύπον ἀληθῶς, ὅσιε Πάτερ πανένδοξε Φώτιε.

Δόξα, καὶ νῦν· *τῆς Ἑορτῆς. Οἱ Ἀναβαθμοί, τὸ α' Ἀντίφωνον τοῦ δ' ἤχου.* Προκείμενον ἦχος δ'. Τὸ στόμα μου λαλήσει σοφίαν. *στίχ.* Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη. *Τὸ* Πᾶσα πνοή. *Εὐαγγέλιον ζήτει εἰς τὴν Ἑορτὴν τοῦ Χρυσοστόμου. Ὁ Ν'.* Δόξα, Ταῖς τῶν Ἀποστόλων· καὶ νῦν, Ταῖς τῆς Θεοτόκου. *Εἶτα, στίχ.* Ἐλέησόν με ὁ Θεός. *Καὶ τὸ ἰδιόμελον.*

*Ἦχος πλ. β'.*

Ἐξεχύθη ἡ χάρις ἐν χείλεσί σου, ὅσιε Πάτερ, καὶ γέγονας Ποιμὴν τῆς τοῦ Χριστοῦ Ἐκκλησίας, διδάσκων τὰ λογικὰ πρόβατα, Πιστεύειν εἰς Τριάδα ὁμοούσιον, ἐν μιᾷ Θεότητι.

*Ὁ Κανὼν τῆς Ἑορτῆς εἰς δ', καὶ τοῦ Ἁγίου εἰς δ'. Καταβασίας δὲ λέγομεν τῆς Ἑορτῆς. Ὠδὴ α', ἦχος δ'.* Ἀνοίξω τὸ στόμα μου.

Φωστὴρ θεαυγέστατε, φωτὸς ἐπώνυμε ἅγιε, τὸ σκότος ἀπέλασον τῆς διανοίας μου, λαμπηδόσι με, φωτὸς αὐγάσας θείου, ὅπως εὐφημήσω σου, τὰ κατορθώματα.

Τῆς πίστεως ἔρεισμα, τῆς Ἐκκλησίας διδάσκαλον, καὶ στύλον ἀκράδαντον, ὁμολογίας σε, καὶ πολύφωτον, τῆς χάριτος φωστῆρα, καὶ στόμα πυρίπνοον, Φώτιε ἔγνωμεν.

Νομίμως ἠγώνισαι, προκινδυνεύειν θεσπέσιε, τοῦ θείου κηρύγματος, ὡς Ἱεράρχης πιστός· καὶ κατέπνιξας, νευραῖς τῶν σῶν δογμάτων, ὡς θῆρα Νικόλαον, τὸν ματαιόφρονα.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ

*Θεοτοκίον.*

Μαρίαν τὴν ἄχραντον, δεῦτε ὑμνήσωμεν ἅπαντες, τὴν μόνην κοσμήσασαν τὴν ἀνθρωπότητα, τὴν κυήσασαν Θεὸν σεσαρκωμένον, Παρθένον τε μείνασαν ἀδιαλώβητον.

*Ὠδὴ γ΄.* Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε.

Λαλήσας εἰς ὕψος βλασφημίαν, τῆς Δύσεως δράκων ὁ δεινὸς, τοῖς λόγοις σου πεφίμωται, φωστὴρ θεοειδέστατε· διὸ καὶ οἱ ὀρθόδοξοι ἀξιοχρέως τιμῶμέν σε.

Νεκροῦται αἱρέσεως ὁ ὄφις, τοῖς λόγοις σου Πάτερ τοῖς σοφοῖς, ὡς λίθος προσβαλλόμενος καὶ κάραν συντριβόμενος· διόπερ Ἐκκλησία τε ἀξιοχρέως γεραίρει σε.

Γραφῶν παραστάσεσι γενναίαις, τὴν χάριν τοῦ Πνεύματος σοφὲ, κοινὴν εἶναι ἀπέδειξας, καὶ Πνεῦμα ὀνομάζεσθαι, τὴν τούτου δὲ ὑπόστασιν, ἐκ τοῦ Πατρὸς ἐκπορεύεσθαι.

*Θεοτοκίον.*

Ἀνάρχου Γεννήτορος ὁ Λόγος, ὁ πάσης ἀνώτερος ἀρχῆς, ἀρχὴν νῦν σωματούμενος, ἐκ σοῦ Ἁγνὴ ἐδέξατο, καὶ ὑπὸ χρόνων γέγονεν, ὁ χρόνων πάντων ὑπέρτερος.

*Κάθ. ἦχος πλ. δ΄.* Τὴν σοφίαν καὶ λόγον.

Τὸν προφήτην Ἠλίαν ζηλοτυπῶν, Ἰωάννην ὡσαύτως τὸν Βαπτιστὴν, ἀνδρείως διήλεγξας, Βασιλεῖς ἀνομήσαντας, Ἱεραρχίας θρόνον, ἐνθέως ἐκόσμησας, καὶ διδαγμάτων πλήθει, τὸν κόσμον ἐπλούτισας. Ὅθεν καὶ ταῖς θείαις συγγραφαῖς κεχρημένος, Πιστοὺς ἐπεστήριξας, καὶ ἀπίστους ἐπέστρεψας, Ἱεράρχα θεσπέσιε· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Δόξα, καὶ νῦν· *τῆς Ἑορτῆς. Ὠδὴ δ΄.* Ὁ καθήμενος ἐν δόξῃ.

Ἐν νεότητι τὸ σῶφρον, ἐν τῷ γήρει τὴν σύνεσιν, ἐν παντὶ δὲ βίῳ τὸ καρτερικὸν καὶ μακρόθυμον, καὶ τὴν πρὸς πάντας ἀγάπην ἐπιδέδειξαι, τοὺς κραυγάζοντας· δόξα Χριστὲ τῇ δυνάμει σου.

Ὁ λαμπρότατός σου βίος, ὡς κανὼν ἀκριβέστατος, διὰ πάσης Πάτερ, θείας ἀρετῆς ἀναδέδεικται, ἐν προσευχαῖς καὶ νηστείαις ἀγρυπνίαις τε, καὶ δεήσεσι, ταῖς πρὸς Χριστὸν τὸν φιλάνθρωπον.

Νυσταγμὸν τοῖς σοῖς βλεφάροις, θεοφόρε οὐκ ἔδωκας, ἕως ὅτου Πάτερ, οἶκον σεαυτὸν ἀπετέλεσας, τῷ παντεπόπτῃ Δεσπότῃ ὡραιότατον, πρὸς ὃν ἔκραζες· δόξα Χριστὲ τῇ δυνάμει σου.

*Θεοτοκίον.*

Νεκρωθέντας Παναγία, τοὺς ἀνθρώπους ἐζώωσας, πεπτωκότας τούτους, πρὸς διαφθορὰν ἐξανέστησας, τὸν ζωοδότην τεκοῦσα τὸν λυτρούμενον, τοὺς κραυγάζοντας· δόξα Χριστὲ τῇ δυνάμει σου.



*Ὠδὴ ε΄.* Ἐξέστη τὰ σύμπαντα.

Τὴν χάριν δεξάμενος, τοῦ Παναγίου Πνεύματος, θεῖον ἐνδιαίτημα ἐδείχθης, θείως διδάξας, θεογνωσίας τὸ φῶς, Φώτιε πανθαύμαστε σοφὲ, Πάτερ ἁγιώτατε, Ἐκκλησίας τὸ στήριγμα.

Ἡ γλῶσσά σου κάλαμος, τοῦ Παρακλήτου γέγονεν, ὀξέως τὴν λύτρωσιν διδόντος, τοῖς ἐπιγνοῦσι τὴν δεσποτείαν αὐτοῦ, καὶ ταῖς σφῶν ἐμπνέοντος ψυχαῖς, γνῶσιν ἐπουράνιον, ἱερώτατε Φώτιε.

Ἀστράπτοντα λόγων τε καὶ διδαγμάτων χάρισι, σὲ Χριστὸς ἀνέδειξε τῷ κόσμῳ, αἱρετιζόντων ἀποσοβοῦντα ὁρμὰς, καὶ ψυχὰς φωτίζοντα πιστῶν, πάντων τῶν ὑμνούντων σε, τὸν τῆς Πίστεως κήρυκα.

*Θεοτοκίον.*

Παρθένος γεγέννηκεν, υἱὸν τὸν προαιώνιον, φύσιν ἐνδυσάμενον ἀνθρώπων, ὡς ἐκδιδάσκων, ὁ Ἱεράρχης φησὶ, καὶ σώσαντα ταύτην ἐκ φθορᾶς, πάθει τῷ τοῦ σώματος, καὶ Παρθένος διέμεινε.

*Ὠδὴ ϛ΄.* Τὴν θείαν ταύτην.

Τὸν μέγαν ᾄσωμεν Φώτιον, τὴν σάλπιγγα τρανῶς τὴν κηρύξασαν, τοῦ θείου Πνεύματος, ἐκ τοῦ Πατρὸς τὴν ἐκπόρευσιν, ὡς τῆς βροντῆς ὁ γόνος ἐθεολόγησε.

Ἐρράγη ἅπαν τὸ φρύαγμα, σοῖς λόγοις Ἱερώτατε Φώτιε, τὸ τῆς αἱρέσεως· διὸ πιστῶν ἡ ὁμήγυρις, λαμπροτελῶς τιμᾷ σου τὴν μνήμην Ἅγιε.

Σκιρτᾷ καὶ πᾶσα εὐφραίνεται, ὁμήγυρις πιστῶν ἡ ὀρθόδοξος, πάντιμε Φώτιε, τοῦ Γρηγορίου ὁρῶσά σε, καὶ Χρυσοστόμου ὄντως σεπτὸν διάδοχον.

*Θεοτοκίον.*

Ὑμνῶ σου Κόρη τὴν σύλληψιν, ὑμνῶ σου τὴν ἀπόρρητον γέννησιν, ὑμνῶ τὴν σκέπην σου, βλάβης δι᾿ ἧς πάσης ῥύομαι, ὁ πρὸς τὴν σὴν γαλήνην κατεπειγόμενος.

*Κοντάκιον· ἦχος πλ. δ΄.* Τῇ ὑπερμάχῳ στρατηγῷ.

Τῆς Ἐκκλησίας ὁ φωστὴρ ὁ τηλαυγέστατος, καὶ Ὀρθοδόξων ὁδηγῶν ὁ ἐνθεώτατος, στεφανούσθω νῦν τοῖς ἄνθεσι τῶν ᾀσμάτων, ἡ θεόφθογγγος κιθάρα ἡ τοῦ Πνεύματος, ὁ στερρότατος αἱρέσεων ἀντίπαλος, ᾧ καὶ κράζομεν· χαῖρε πάντιμε Φώτιε.

*Ὁ Οἶκος.*

Ἄγγελος ἐξ ἀνθρώπων, ἀνεδείχθης ὦ Πάτερ, ἐκ γῆς πρὸς τὰ οὐράνια φθάσας· διὸ σὺν ἀσωμάτοις χοροῖς, ἁμιλλώμενόν σε θεωρῶν ὅσιε, ἐξίσταμαι καὶ πόθῳ σοι κραυγάζω εὐλαβῶς τοιαῦτα.

Χαῖρε, δι᾿ οὗ Τριὰς προσκυνεῖται.
Χαῖρε, δι᾿ οὗ Θεὸς ἀνυμνεῖται.
Χαῖρε Ὀρθοδόξων κανὼν ὁ εὐθύτατος.
Χαῖρε ἀνομοῦντας ἐλέγχων στερρότατα.

Χαῖρε ὕψος ταπεινώσεως δυσανάβατον πολλοῖς.
Χαῖρε βάθος διακρίσεως δυσθεώρητον θνητοῖς.
Χαῖρε, ὅτι ἐγένου τοῦ Θεοῦ θεῖος θύτης.
Χαῖρε, ὅτι προσάγεις τῷ Θεῷ σεσωσμένους.
Χαῖρε Θεοῦ Μαρτύρων ὁμόσκηνε.
Χαῖρε, σεπτῶν Ὁσίων συνόμιλε.
Χαῖρε, δι' οὗ δυσσεβεῖς καθαιροῦνται.
Χαῖρε, δι' οὗ οἱ πιστοὶ βεβαιοῦνται.
Χαῖρε πάντιμε Φώτιε.

## Τῷ αὐτῷ μηνὶ ς' Μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν καὶ Ἰσαποστόλου Φωτίου Πατριάρχου Κωνσταντινουπόλεως τοῦ Ὁμολογητοῦ.

Θνήσκων Φώτιος, οὐ ταράττομαι λέγει,
Πρὸς τὴν τελευτήν, ὢν προητοιμασμένος.

Ἕτεροι στίχοι.

Ἤστραψε τοῖς λόγοισι Φώτιος μέγας.
Φῶς Εὐσεβέσσι, πῦρ δ' ἐναντίους φλέγον.
Ἄντυγ' ἐς Οὐρανίην ἀνεδέδρομε Φώτιος ἕκτῃ.

Οὗτος ὁ τρισμακάριος καὶ φερώνυμος Ἱεράρχης, ὁ μέγας καὶ λαμπρὸς τῆς Ἐκκλησίας Πατὴρ καὶ Διδάσκαλος, Φώτιος ὁ σοφώτατος καὶ ἁγιώτατος, ὁ Ὁμολογητὴς τῆς πίστεως καὶ Ἰσαπόστολος, ἤκμασεν ἐν τοῖς χρόνοις τῶν βασιλέων καὶ Αὐτοκρατόρων Μιχαὴλ υἱοῦ Θεοφίλου, Βασιλείου τοῦ Μακεδόνος, καὶ Λέοντος τοῦ υἱοῦ αὐτοῦ. Τούτῳ πατρὶς μὲν ἐπίγειος, Κωνσταντινούπολις ἡ μεγαλώνυμος καὶ τῶν πόλεων ἡ βασιλεύουσα, οὐράνιος δέ, ἡ ἄνω Ἱερουσαλήμ, ἡ κραταιὰ καὶ ἀνώλεθρος, πατέρες δὲ περιφανεῖς εὐγενείᾳ τε τῇ κατὰ σάρκα οὐχ ἧττον ἢ πίστει τῇ ὀρθοδόξῳ, ὑπὲρ ἧς καὶ μαρτυρικῷ στεφάνῳ διακεκόσμηνται, ἀθλήσαντες οἱ οὐρανόφρονες καὶ καρτερόψυχοι ὑπὲρ τῆς τῶν ἁγίων καὶ σεπτῶν εἰκόνων, ὡς ἔοικε, τιμῆς καὶ προσκυνήσεως. Τοῖς πρωτίστοις δὲ τῶν βασιλικῶν ἀξιωμάτων πρότερον διαπρέψας, καὶ βίον ἀείποτε ἐνάρετον καὶ θεοφιλῆ ἐξασκήσας, τοὺς τῆς Ἐκκλησίας ἔπειτα ποιμεναρχικοὺς παραλαμβάνει οἴακας, ἐπὶ τὸν Ἀποστολικὸν καὶ Οἰκουμενικὸν Πατριαρχικὸν Θρόνον τῆς Κωνσταντινουπόλεως προβιβασθείς. Τοῦ γὰρ ἐν Ἁγίοις Ἰγνατίου βίᾳ βασιλικῇ ἐκβληθέντος τοῦ θρόνου, καὶ τῆς Ἐκκλησίας ἐντεῦθεν χηρευούσης, μηδ' ὄντος ἄλλως δυνατοῦ διαμένειν ταύτην ἄνευ Ἐπισκόπου, ὁ ἐν Ἁγίοις Φώτιος, βίᾳ ὑπαχθεὶς καὶ βασιλικῇ δυναστείᾳ, διαδέχεται κανονικῶς τὸν ἱερὸν Ἰγνάτιον, γενόμενος πρότερον Μοναχός, καὶ τοὺς κατὰ τάξιν τῆς ἱερωσύνης λαβὼν βαθμούς. Καὶ οἵους μὲν ἀγῶνας διήνυσεν ὁ τρισόλβιος ὑπὲρ τῆς ὀρθοδόξου πίστεως κατὰ Μανιχαίων, καὶ Εἰκονομάχων, καὶ ἄλλων αἱρετικῶν, καὶ πρὸ πάντων κατὰ τῆς τότε πρῶτον ἀναφανείσης παπικῆς αἱρέσεως, ἧς τὸν ἀρχηγὸν καὶ τοῦ Λατινικοῦ σχίσματος πατέρα, Νικόλαον τὸν ἀλάστορα Ῥώμης Πάπαν, γραφικαῖς καὶ πατρικαῖς ἀποδείξεσιν ἐξελέγξας, καὶ ἐνδίκως καθελών, τῆς Καθολικῆς Ἐκκλησίας συνοδικῶς ἐξωστράκισε, τῷ ἀναθέματι παραπέμψας, οἵους δὲ διωγμούς, καὶ κινδύνους, οἵας δὲ ἐπιβουλὰς καὶ καταδρομάς, οἵας δὲ καὶ τὰς κακώσεις καὶ τὰς ἀπανθρώπους βασάνους ὑπέστη χριστομιμήτως ὁ καρτερόψυχος θεορρήμων, ὁ στερρὸς καὶ τὴν ψυχὴν ἀδαμάντινος Ἱεράρχης, ὑπὸ τῶν σχισματικῶν Λατίνων, καὶ τῶν τῆς αἱρέσεως τοῦ Παπισμοῦ θιασωτῶν, ἀνθρώπων κακούργων καὶ ψευδολόγων, ἀνθρώπων παρανόμων, ἀνοσίων καὶ



μιαιφόνων, ἡ κατ' αὐτὸν εἰς πλάτος ἱστορία διέξεισι. Τοσοῦτον δὲ μόνον εἰπεῖν ἐνταῦθα περὶ αὐτοῦ ἀναγκαῖον, ὅτι ὁ μακάριος, ἱερουργήσας ὡς ἄλλος Παῦλος τὸ Εὐαγγέλιον, ἅπαν μὲν τὸ τῶν γενναίων Βουλγάρων ἔθνος μετὰ καὶ τοῦ βασιλέως αὐτῶν τὴν εἰς Χριστὸν ἀμώμητον πίστιν μυσταγωγήσας τῷ τοῦ θείου βαπτίσματος λουτρῷ ἀνεγέννησε, πολλοὺς δὲ καὶ ἐκ διαφόρων αἱρέσεων, Ἀρμενίους, Εἰκονομάχους, καὶ ἄλλους ἑτεροδόξους εἰς τὴν Καθολικὴν τοῦ Χριστοῦ Ἐκκλησίαν ἐπέστρεψε, λόγους ἐκθεὶς πλήρεις χάριτος καὶ σοφίας καὶ ἀληθείας, δι' ὧν τὰ τῶν κακοδόξων φρονήματα κατεβρόντησε· καὶ τῷ μὲν σταθερῷ τοῦ φρονήματος καὶ ἀτρέπτῳ τὸν βασιλοκτόνον καὶ ἀγνώμονα Βασίλειον τὸν Αὐτοκράτορα καταπλήξας, τῷ δὲ ἐνθέρμῳ καὶ κατ' ἐπίγνωσιν αὐτοῦ ζήλῳ πάσης ἑτεροδιδασκαλίας τὰ ζιζάνια ἐκριζώσας, ἔμπλεως ὡς οὐδεὶς τῶν κατ' αὐτὸν τῆς ἀποστολικῆς διδασκαλίας ἀνεφάνη. Οὕτως οὖν ὁσίως καὶ εὐαγγελικῶς ποιμάνας τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν, καὶ δὶς μὲν ἀναβὰς ἄκων εἰς τὸν θρόνον, δὶς δὲ τούτου βίᾳ τυραννικῇ ἐξωσθείς, πολλὰ δὲ καὶ διάφορα συγγράμματα καταλιπὼν τῇ Ἐκκλησίᾳ καὶ τῷ λαῷ τοῦ Θεοῦ, ἄριστα πάντα καὶ σοφώτατα, καὶ οἷα ὁ πᾶς αἰὼν δικαίως ἀποθαυμάσει· διὰ γὰρ πάσης ἐλθὼν ἰδέας παιδεύσεως, ἐν ἑκάστῃ τὸ κράτος ἐκτήσατο· πολλὰ δὲ καὶ καμὼν ὑπὲρ τῆς ἀληθείας καὶ τῆς δικαιοσύνης, ἐξεδήμησεν ἁγίως πρὸς Κύριον ὁ πολύαθλος, ὑπερόριος ἐν τῇ τῶν Ἀρμενιανῶν Μονῇ, ὡς ἐν Κομάνοις ὁ θεῖος Χρυσόστομος. Τὸ δὲ ἱερὸν καὶ πάντιμον αὐτοῦ σῶμα ἐναπετέθη ἐν τῇ Μονῇ τῇ λεγομένῃ τῆς Ἐρημίας, ἢ Ἠρεμίας. Καὶ πάλαι μὲν ἐτελεῖτο ἡ ἁγιωτάτη αὐτοῦ Σύναξις ἐν τῷ Προφητείῳ, ἤτοι Ναῷ, τοῦ Τιμίου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, τῷ ὄντι ἐν τῇ εἰρημένῃ Μονῇ τῆς Ἠρεμίας, νῦν δὲ τελεῖται ἐν τῇ κατὰ Χάλκην ἱερᾷ καὶ Πατριαρχικῇ Μονῇ τῆς Ἁγίας Τριάδος, ἔνθα ἤδη συνέστη καὶ ἡ Θεολογικὴ Σχολὴ τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας.

## Τῇ αὐτῇ ἡμέρᾳ. Μνήμη τοῦ ὁσίου Πατρὸς ἡμῶν Βουκόλου ἐπισκόπου Σμύρνης.

Σμύρνης ὁ Ποιμὴν Βουκόλος θυηπόλος,
Ἀγρυπνός ἐστι καὶ θανὼν ποίμνης φύλαξ.
Ἀγλαὸν ἠελίοιο λίπε Βουκόλος ἕκτῃ.

## Τῇ αὐτῇ ἡμέρᾳ. Μνήμη τοῦ ἁγίου Μάρτυρος Ἰουλιανοῦ τοῦ ἐν Ἐμέσῃ.

Χριστὸς τέτρηται χεῖρας ἥλοις καὶ πόδας.
Ἰουλιανὸς προστίθησι καὶ κάραν.

## Τῇ αὐτῇ ἡμέρᾳ. Μνήμη τῆς ἁγίας Μάρτυρος Φαύστης καὶ τῶν σὺν αὐτῇ Εὐϊλασίου καὶ Μαξίμου.

Τρεῖς Μάρτυρες πάσχουσιν ἰχθύων πάθος·
Κοινῇ τυχόντες ὀργάνου τοῦ τηγάνου.

## Τῇ αὐτῇ ἡμέρᾳ. Μνήμη τῶν ἁγίων Μαρτύρων Φαύστου, Βασιλείου, καὶ Σιλουανοῦ, καὶ τῶν ἁγίων Μαρτύρων τῶν ἐν τοῖς Δαρείου.

Τριῶν συνάθλων, ἓν διὰ ξίφους τέλος.
Οἳ τὸν Θεὸν φρονοῦσιν ἕν τε καὶ τρία.

## Τῇ αὐτῇ ἡμέρᾳ. Μνήμη τοῦ ὁσίου Πατρὸς ἡμῶν Βαρσανουφίου.

Ἐκ γῆς συνέστη σῶμα Βαρσανουφίου,
Καὶ γῆν ὑπῆλθε, τὴν ἑαυτοῦ μητέρα.

Τῇ αὐτῇ ἡμέρᾳ. Μνήμη τοῦ ὁσίου Πατρὸς ἡμῶν Ἰωάννου τοῦ ἐπικαλουμένου Προφήτου, μαθητοῦ τοῦ ἁγίου Βαρσανουφίου.

Δίκαιόν ἐστιν, ὦ Ἰωάννη ἅμα,
Τάττειν σε ὧδε, τῷ φίλῳ διδασκάλῳ.

Τῇ αὐτῇ ἡμέρᾳ· ὁ Ὅσιος Ἰωάννης ὁ ἐν Λυκῷ τῇ πόλει, ἐν εἰρήνῃ τελειοῦται.

Τὸν ἐν Λυκῷ δὲ ποῦ Ἰωάννην θέμις,
Τάττειν ὅτι μή, ὧδ' Ἰωάννῃ ἅμα;

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις Χριστὲ ὁ Θεὸς, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

*Ὠδὴ ζ'.* Οὐκ ἐλάτρευσαν τῇ Κτίσει.

Μεταβέβηκας θεόφρον πρὸς Οὐράνια, Πάτερ σκηνώματα, καὶ προσπελάσας Θεῷ, μεθέξει θεούμενος, ἔνθεος γέγονας ψάλλων Ὅσιε· ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Νουθετούμενοι σοῖς λόγοις διδασκόμεθα, Πάτερ πανεύφημε, ὡς ἐν Ἡλίοις τρισὶν, ἀμέριστον ἄτμημον σέβειν Θεότητα, ἣ καὶ ψάλλομεν· ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Ὡς πανίερος ἡ θεία καὶ θεάρεστος ὁμολογία σου· ὡς γὰρ χρυσὸς καθαρθεὶς, Θεῷ εὐηρέστησας, Πάτερ τρισόλβιε, ἀγαλλόμενος τῇ ἐκτιμήσει Ὅσιε, τῶν παθῶν τῶν τοῦ Σωτῆρος.

*Θεοτοκίον.*

Πᾶσι πρόξενος ἀνθρώποις ἐναπέφηνας, θείας λυτρώσεως, τὸν λυτρωτὴν τοῦ παντὸς, τεκοῦσα Πανάμωμε, ᾧ πάντες ψάλλομεν· ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

*Ὠδὴ η'.* Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ.

Ῥέουσι πηγαὶ τῶν σῶν δογμάτων, καὶ πᾶσαν τὴν Ἐκκλησίαν καταρδεύουσι, Φώτιε πανθαύμαστε, ὅθεν εὐφημοῦμέν σε, ὡς Ὀρθοδόξων ἔρεισμα, Πάτερ καὶ καύχημα, τὸν Κύριον ὑμνοῦντες ἀπαύστως, καὶ ὑπερυψοῦντες εἰς πάντας τοὺς αἰῶνας.

Ὅρμῳ γαληνῷ σὺ προσωρμίσθης, τοῦ βίου τὰς τρικυμίας ἀπωσάμενος, εἶχες γὰρ ἰθύνοντα, πᾶσαν τὴν πορείαν σου, τὸν Κυβερνήτην Κύριον, Φώτιε πάνσοφε, τὸν νεύματι τὰ πάντα ποιοῦντα· ὃν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.



Φῶς τὸ τριλαμπὲς τῆς ὑπερθέου, Τριάδος ἐν σοὶ σκηνῶσαν φῶς σε δεύτερον, ἔδειξε φωτίζοντα, δῆμον μὲν Ὀρθόδοξον, αἱρετικὴν δὲ φάλαγγα, Πάτερ ἀμβλύνοντα, καὶ Κύριον ὑμνεῖτε βοῶντα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

*Θεοτοκίον.*

Ῥόδον ἐν ἀκάνθαις εὑρηκώς σε, καὶ ἄνθος ἐν ταῖς κοιλάσι τὸ πανεύοσμον, κρίνόν τε πανάσπιλον, Δέσποινα θεόνυμφε, ὁ σὸς νυμφίος ἄνωθεν ἐν σοὶ ἐσκήνωσε, καὶ κόσμον εὐωδίασε πάντα, σὲ ὑπερυψοῦντα εἰς πάντας τοὺς αἰῶνας.

*Ὠδὴ θ'.* Ἅπας γηγενής. Μεγάλυνον ψυχή μου τὸν ἐν Ἱεράρχαις ὑπέρλαμπρον φωστῆρα.

Ὅλον ἐμαυτὸν, προσάγω θεσπέσιε, τῇ θείᾳ σκέπῃ σου· ὡς Ἀρχιεράρχης δὲ, τὴν ἐξουσίαν λύειν τὰ πταίσματα, παρὰ Χριστοῦ δεξάμενος, ἐμῶν σφαλμάτων σειρὰς, διαρρήξας, σῶσόν με πρεσβείαις σου, καὶ τῷ θείῳ φωτὶ καταλάμπρυνον.

Μεγάλυνον ψυχή μου, τὸν κεκοσμηκότα, Χριστοῦ τὴν Ἐκκλησίαν.

Ἤρθης πρὸς τὸ φῶς, τὸ ἄδυτον ἔνδοξε, Πάτερ γηΐνων ῥυσθεὶς, καὶ τῷ Παντοκράτορι, καὶ τρισηλίῳ φωτὶ παρίστασαι, μετὰ τῶν ἄνω Τάξεων, καὶ τῇ ἐκεῖθεν τρυφῆς, πεμπομένῃ, λάμψει τρισμακάριε, καὶ ἡμᾶς φρυκτωρεῖς τοὺς ὑμνοῦντάς σε.

Δόξα. Μεγάλυνον ψυχή μου, τῆς Τρισυποστάτου, καὶ ἀδιαιρέτου, Θεότητος τὸ κράτος.

Ὡς τις ἀριστεὺς, ἐφάνης κατήγορος πλάνης αἱρέσεως· τῆς Ὀρθοδοξίας δὲ, Ἱεροκῆρυξ θεῖος συνήγορος, σὺν Ἰγνατίῳ, Φώτιε, οὗ καὶ διάδοχος, καὶ τῶν τρόπων, καὶ τοῦ θρόνου γέγονας, καὶ πρεσβεύεις μεθ' οὗ πρὸς τὸν Κύριον.

Καὶ νῦν. *Θεοτοκίον.*

Μεγάλυνον ψυχή μου, τὴν τιμιωτέραν, καὶ ἐνδοξοτέραν, τῶν ἄνω στρατευμάτων.

Ὅλον με Θεὸς, θεῶσαι βουλόμενος, ὅλος ἑνοῦταί σοι, καὶ τὸ ἀκατάληπτον, καινοτομεῖται πᾶσι Μυστήριον· τίκτεις Παρθένος ἄφθορος, καὶ σὰρξ ὁρᾶται Θεός· ὃν ὑμνοῦντες, σὲ νῦν μακαρίζομεν, Μαριὰμ ὡς αὐτὴ προεφήτευσας.

*Ἐξαποστειλάριον.* Γυναῖκες ἀκουτίσθητε.

Προστάτην σε θερμότατον, ἡ Ἐκκλησία κέκτηται, λαμπρὸν διδάσκαλον Πάτερ, διὸ φαιδρῶς τὴν σὴν μνήμην, πανηγυρίζει κράζουσα, ἀεὶ σκέπε τὴν ποίμνην σου, καὶ φύλαττε ἀπήμονα, αἱρέσεώς τε καὶ βλάβης, Ἀρχιεράρχα Κυρίου.

*Καὶ τῆς Ἑορτῆς. Εἰς τοὺς Αἴνους,* Πᾶσα πνοή· *ἱστῶμεν στίχ. δ' καὶ ψάλλομεν στιχ. Προσόμοια δ',* ἦχος α'.

Τῶν Οὐρανίων Ταγμάτων.

Τῆς Ἐκκλησίας τὸν θεῖον, ἀνευφημήσωμεν, Ἀρχιεράρχην ὄντως καὶ διδάσκαλον μέγαν, τὸν κήρυκα τοῦ λόγου, τὸν θαυμαστὸν Ἰσαπόστολον Φώτιον· καὶ γὰρ ἐπέστη ἡ τούτου πανευκλεής, μνήμη ἅπαντας εὐφραίνουσα.

Τῶν ἀρετῶν σε δοχεῖον, καλοῦμεν Φώτιε, ὡς τῆς εἰρήνης φίλον, τῆς ἀγάπης ἐργάτην, καὶ στήλην σωφροσύνης, καὶ προσευχῆς, ἐνδιαίτημα ἄσυλον, καὶ ἰαμάτων ταμεῖον, καὶ πρεσβευτὴν τῶν τιμώντων σε μακάριε.

Τοῖς Ἀποστόλοις συνήφθης, ὡς Ἰσαπόστολος· καὶ γὰρ σὺ Βουλγαρίας, Σλαβικῆς τε ἀπάσης, φυλῆς ὁ θεῖος κῆρυξ, ἀναδειχθεὶς, τῷ Χριστῷ ταύτην ἤγαγες, ἀναγεννήσας βαπτίσματι τῷ σεπτῷ, ἣν καὶ φύλαττε Ὀρθόδοξον.

Τοῦ ἐπὶ γῆς ἑωσφόρου, φυσιωθέντος δεινῶς, καὶ θρόνον αὐτοῦ θέντος ὑπεράνω τῶν ἄστρων, πρῶτος σὺ ζηλώσας ὡς Μιχαὴλ, ἀνεβόησας ἔνδοξε· στῶμεν καλῶς· στῶμεν πάντες ἐν ταῖς σεπταῖς, τῶν Πατέρων παραδόσεσι.

Δόξα, ἦχος *πλ. α'*.

Ὅπου ἐπικληθῇ σου τὸ ὄνομα φερώνυμε, ἐκεῖθεν τοῦ διαβόλου διώκεται ἡ δύναμις· οὐ φέρει γὰρ τῷ φωτί σου προσβλέπειν ὁ πεσὼν ἑωσφόρος· διὸ αἰτοῦμέν σε, τὰ πυρφόρα αὐτοῦ βέλη, τὰ καθ' ἡμῶν κινούμενα ἀπόσβεσον, τῇ μεσιτείᾳ σου λυτρούμενος ἡμᾶς, ἐκ τῶν σκανδάλων αὐτοῦ, ἀξιύμνητε Ἱεράρχα Φώτιε.

Καὶ νῦν· *τῆς Ἑορτῆς. Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις. Εἰς τὴν Λειτουργίαν, τυπικὰ, καὶ ἐκ τοῦ Κανόνος τῆς Ἑορτῆς ἡ γ' ᾠδὴ, καὶ τοῦ Ἁγίου ἡ ς'. Ἀπόστολον καὶ Εὐαγγέλιον, ζήτει Νοεμβρίῳ ιγ'. Κοινωνικὸν,* Εἰς μνημόσυνον αἰώνιον.

*Μεγαλυνάριον.*

Χαίροις ὁ λαμπρότατος τῆς Χριστοῦ, Ἐκκλησίας μύστης, Ὀρθοδόξων προασπιστὴς, κακοδόξων μάστιξ, Ἱεραρχίας κλέος, ὁ μέγας θεοφάντωρ, Φώτιε Ἅγιε.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

**ΤΕΛΟΣ ΚΑΙ ΤΩι ΘΕΩι ΔΟΞΑ.**